# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ.

BISETVS. Εἰς τὰς Ἀριστοφάνους Θεσμοφοριαζούσας σχόλια ἐκ παλαιῶν, καὶ διαφόρων συγγραφῶν, ὑπομνημάτων, καὶ λεξικῶν ἀρίστων μετὰ πλείστης ἐπιμελείας συλλεχθέντα, καὶ νῦν πρῶτον ἐκτυπωθέντα.

## ΥΠΟΘΕΣΙΣ ΤΩΝ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΩΝ.

Εὐριπίδης ἐν τοῖς Θεσμοφορείοις ὑπὸ γυναικῶν κατηγορηθεὶς τὴν Ἀγάθωνος τοῦ πάντων κακίστου ποιητοῦ βοήθειαν, καὶ προστασίαν ἐπικαλεῖσθαι ἠναγκάσθη. αὐτὸν γὰρ ἐν τῷ τῶν ἑαυτοῦ παλαιῶν φίλων ἀριθμῷ ἐτίθει, καὶ διὰ τὸ αὐτὸν μαλακώτατον εἶναι, τῆς ἰδίας δυστυχίας δεινότατον αὐτῷ προστάτην ἐνόμιζεν ἔσεσθαι. πρὸς τοῦτον οὖν μετὰ Μνησιλόχου κηδεστοῦ προσῆλθε δεησόμενος ἐν τῷ δικαστηρίῳ τὴν ἑαυτοῦ, καὶ ἁπάσης τῆς οὐσίας προστασίαν λαβεῖν, καὶ τὰς τῶν κατηγόρων κατηγορίας ἀποκρούειν. ἵνα δὲ μᾶλλον αὐτὸν ἐπὶ τοῦτο προτρέπῃ, τὰς καλὰς ὑποσχέσεις, ἃς πολλάκις Ἀγάθων αὐτῷ ἐποιήσατο, εἰς μνήμην ἀνακαλεῖ, καὶ τὴν αὐτοῦ βοήθειαν, καὶ πίστιν νῦν ἀπαιτεῖ. ἀλλ᾽ ὅπερ καὶ πάλαι ὑπώπτευεν, αὐτῷ παθεῖν συνέβη. καὶ γὰρ Ἀγάθων αὐτῷ παρεῖναι, καὶ συνδικεῖν οὐκ ἐθέλησεν.

Ἀλλὰ Μνησίλοχος ὁ βέλτιστος, καὶ πιστότατος κηδεστὴς τῷ καιρῷ, καὶ τῷ καθήκοντι προσαχθείς, καὶ τὸ τοῦ κινδύνου μέγεθος ὁρῶν, εἰς ὃν ὁ Εὐριπίδης αὐτίκα πεσεῖν ἂν ἐδόκει, ἄσμενος, καὶ ἐθελοντὴς τὴν αὐτοῦ προστασίαν αὐτῷ ὑπέσχετο, καὶ γυναικείαν ἐσθῆτα πανούργως ἐνδυσάμενος, πρὸς τὴν τῶν Θεσμοφορείων ἑορτὴν ἦλθε, καὶ ἐκεῖ ἐν μεγίστῳ γυναικῶν πλήθει τὴν δίκην ὑπὲρ Εὐριπίδου γενναίως ὑπέχε, καὶ τὰ τῶν κατηγόρων ἐγκλήματα πιθανῶς ἤρξατο διαλύειν. ἀλλ᾽ ἀναγνωρισθεὶς ἀνὴρ ὢν ἐν σχήματι γυναικὸς τὴν τῆς φυλακῆς ἐψηφισμένην ζημίαν αὐτίκα φυγεῖν οὐκ ἐδυνήσατο. καὶ γὰρ αἱ γυναῖκες ὀργῇ ἐπιζέσασαι αὐτὸν εἰς φυλακὴν πικρῶς τιμωρήσουσαι παρέδωκαν, ἀλλὰ μετ᾽ ὀλίγον ἀπατήσας, καὶ τέχναις τισὶν ἐκεῖθεν ἀβλαβὴς Εὐριπίδου συνεργοῦντος ἀπέφυγεν.

| Τὰ τοῦ δράματος πρόσωπα. | *Personæ Dramatis.* |
|---|---|
| Μνησίλοχος ὁ Εὐριπίδου κηδεστής. | Mnesilochus socer Euripidis. |
| Εὐριπίδης. | Euripides. |
| Ἀγάθωνος θεράπων. | Minister. |
| Ἀγάθων. | Agathon. |
| Χορός. | Chorus. |
| Κῆρυξ. | Præco. |
| Γυνή τις. | Mulier quædam. |
| Ἑτέρα γυνή. | Altera mulier. |
| Ἄλλη γυνή. | Altera mulier. |
| Κλεισθένης. | Clisthenes. |
| Ἡμιχόριον γυναικῶν. | Semichorus mulierum. |
| Μνησίλοχος ὡς Ἑλένη. | Mnesilochus vt Helena. |
| Εὐριπίδης ὡς Μενέλαος. | Euripides vt Menelaus. |
| Πρύτανις. | Prytanis. |
| Τοξότης ὁ καὶ Σκύθης. | Scytha. |
| Εὐριπίδης ὡς Περσεύς. | Euripides vt Perseus. |
| Μνησίλοχος ὡς Ἀνδρομέδη. | Mnesilochus vt Andromeda. |
| Εὐριπίδης ὡς Ἠχώ. | Echo. |
| Εὐριπίδης ὡς γραῦς. | Euripides vt anus. |

Σημείωσαι